*νομοθετεῖται, καὶ πολλοὺς μὲν ἐξάγουσι τῶν σοφῶν ὡς*
D *ἄμεινον εὐδαιμονοῦντας πεπαῦσθαι, πολλοὺς δὲ κατέχουσι*
*τῶν φαύλων ὡς καθήκοντος αὐτοῖς ζῆν κακοδαιμονοῦντας.*
*καίτοι ὁ μὲν σοφὸς ὄλβιος μακάριος πανευδαίμων ἀσφαλὴς*
*ἀκίνδυνος, ὁ δὲ φαῦλος καὶ ἀνόητος οἷος εἰπεῖν· 'γέμω*
*κακῶν δὴ καὶ οὐκ ἔσθ' ὅπου τεθῇ·' ἀλλὰ καὶ τούτοις*
*μονὴν οἴονται καθήκουσαν εἶναι κἀκείνοις ἐξαγωγήν.*
*'εἰκότως δέ' φησὶ Χρύσιππος· 'οὐ γὰρ ἀγαθοῖς καὶ κακοῖς*
*δεῖ παραμετρεῖσθαι τὸν βίον ἀλλὰ τοῖς κατὰ φύσιν καὶ*
*παρὰ φύσιν.' οὕτως ἄνθρωποι σῴζουσι τὴν συνήθειαν*
*καὶ πρὸς τὰς κοινὰς ἐννοίας φιλοσοφοῦσι. τί λέγεις; οὐ*
*δεῖ σκοπεῖν*

*'ὅττι τοι ἐν μεγάροισι κακόν ⟨τ'⟩ ἀγαθόν τε τέτυκται'*

*τὸν περὶ βίου καὶ θανάτου σκοπούμενον, οὐδ' ὥσπερ ἐπὶ*
E *ζυγοῦ τὰ πρὸς εὐδαιμονίαν καὶ κακοδαιμονίαν ἐξετάζειν*
*† ἐπίσημα μᾶλλον ὠφελ . . . ἀλλ' ἐκ τῶν μήτ' ὠφελούντων*
*μήτε βλαπτόντων τοὺς ⟨πότερον⟩ βιωτέον ἢ μὴ ποιεῖσθαι*
*λογισμούς; οὐ μέλλει πρὸς τὰς τοιαύτας ὑποθέσεις καὶ*
*ἀρχὰς καθηκόντως αἱρεῖσθαί τε τὸν βίον, ᾧ τῶν φευκτῶν*
*οὐδὲν ἄπεστι, καὶ φεύγειν, ω πάντα τὰ αἱρετὰ πάρεστι;*
*καίτοι παράλογον μέν, ὦ ἑταῖρε, καὶ τὸ φεύγειν τὸν βίον*
*ἐν μηδενὶ κακῷ γενομένους, παραλογώτερον δέ, εἰ μὴ*
*τυγχάνων τις τοῦ ἀδιαφόρου τὸ ἀγαθὸν ἀφίησιν· ὅπερ*
F *οὗτοι ποιοῦσι, τὴν εὐδαιμονίαν προϊέμενοι καὶ τὴν ἀρετὴν*
*παροῦσαν ἀνθ' ὑγιείας καὶ ὁλοκληρίας, ὧν οὐ τυγχάνουσιν.*
*'ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς'* (Z234),



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403574803/78 UNIVERSITÄT LEIPZIG